ἡ δὲ Ἀφροδίτη καὶ ⟨ὁ⟩ Ζεὺς καὶ ὁ Ἑρμῆς ἐπιμαρτυρήσωσι τῇ Σελήνῃ, πολὺ βέλτιον ἐὰν καὶ τῷ ὡρονόμῳ.

Vide etiam Heph. Ep.[2] III 26, 1—6 atque Ep.[4] 105, 1—6.

V 21, 1—10. Hephaestionis III 30, 1—13 (1—2 et 8—12 = fr. 90a Stegemann)

### ⟨λ′⟩ Περὶ ἀποδημίας

1 Εἰ δέ νύ τις πάτρηθεν ἐπ᾽ ἀλλοδαπὴν χθόνα βαίνοι
αὐτὸν ἀφ᾽ ὡρονόμου, χῶρόν γε μὲν εἰς ὃν ἄπεισιν
ἐκ δυτικοῦ κέντρου, πρῆξιν δέ τοι ἐκ μεσάτοιο
ὕψεος εὖ φράσσαιο, τί δ᾽ αὖ τέλος ἔσσεται αὐτῷ
ζῴῳ ὑποχθονίῳ σάφα κεν μάλα τεκμήραιο.

2 ἐπιζήτει, φησίν, τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων ὁποίαν στάσιν ἔχουσι
καὶ σχήματα· ἀγαθὸν γὰρ καθολικῶς μηδενὸς τῶν ἀστέρων στηρίζοντος
καὶ συσχηματιζομένου τῇ Σελήνῃ τὰς ἐκδημίας ποιεῖν, συμφορώτατον
δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξούσης τῷ φωτὶ καὶ προστιθείσης τοῖς
τε κατὰ μῆκος ἀριθμοῖς καὶ τῷ πλάτει.
3, 4 Παραφυλάττειν δὲ τὰ κέντρα χρή. καὶ ἐν μὲν τῷ ὡροσκόπῳ ἀγαθο-
ποιῶν ἀστέρων τυχόντων ἢ καὶ μαρτυρούντων αὐτῷ ἥδιστα τὰ τῆς
ὁδοῦ ἢ τὰ τοῦ πλοῦ ἔσται, συνόντος δὲ τοῦ Ἑρμοῦ αὐτοῖς καὶ ἐπὶ ἑῴας
ἀνατολῆς ταχέως καὶ εὐθύμως πράξει τις ὑπὲρ ὧν τὴν ἐκδημίαν ποιεῖ-
ται, ἐν δὲ τῷ δύνοντι τυχόντος τοῦ Ἑρμοῦ μαρτυρουμένου τε ὑπὸ Διὸς
5 καὶ Ἀφροδίτης, βελτίω καὶ ἐπικερδῆ ταῦτα ἔσται καὶ ἀξιόλογα. καθ-
όλου ἐπὶ ἀποδημίας δεῖ Ἑρμῆν σκοπεῖν μὴ ἀφαιρῇ ἢ ὕπαυγος ᾖ καὶ
ὑπὸ κακοποιῶν βλάπτηται καθ᾽ οἱονδήποτε σχῆμα, καὶ ὅτε δὲ μέλλῃς
6 εἰς πόλιν εἰσιέναι ἢ ἀπὸ πλοίου ἐξιέναι τοῦτο παραφυλάττου. παρετη-
ρήθησαν γὰρ Ἄρεως δὲ καὶ Κρόνου ἐπόντων τῷ δύνοντι ἢ καὶ θεωρούν-
7 των ἀσθένειαι σωματικαί, καὶ ζημίαι καὶ ἐποχαὶ γενήσονται. ἐκ δὲ τῶν
θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ καὶ ἐπόντων τὸ πρᾶγμα οὗ
χάριν ἡ ἐκδημία γίνεται γνωσθήσεται, τὸ δὲ τέλος ἐκ τοῦ ὑποχθονίου,
τὸ κῦρος δὲ πάντων ἐκ τῶν συσχηματισμῶν, μάλιστα τῆς Σελήνης,
τελειοῦται, ἣν ἀπαγορευτέον πρὸς τὰς ἐξόδους κακοδαιμονοῦσαν ἢ